Translate the following passage adapted from LXX 2 Kings. As you translate the sentences, pay careful attention to words that go together, such as prepositional phrases and relative clauses. Breaking the sentences up into logical units is oftentimes a better first approach than attempting to translate all the words in succession.

Vocabulary and commentary is provided for each sentence. For words that do not appear in the vocabulary, please use your dictionary.

From the history of Jerusalem, the kings Jehoiachin and Zekediah and the loss of the city to Nebuchadnezzar, king of Babylon:

24. 8. υἱὸς ὀκτωκαίδεκα ἐτῶν Ιωακιμ ἐν τῷ βασιλεύειν αὐτὸν καὶ τρίμηνον βασίλευει ἐν Ιερουσαλημ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Νεσθα θυγάτηρ Ελλαναθαν ἐξ Ιερουσαλημ.

10. ...ἀναβαίνει Ναβουχοδονοσορ βασιλεὺς Βαβυλῶνος εἰς Ιερουσαλημ, καὶ ἦλθεν ἡ πόλις ἐν περιοχῇ.

11. καὶ εἰσῆλθεν Ναβουχοδονοσορ βασιλεὺς Βαβυλῶνος εἰς τὴν πόλιν, καὶ οἱ παῖδες αὐτοῦ πολιορκοῦσιν ἐπ᾽ αὐτήν.

12. καὶ ἐξῆλθεν Ιωακιμ βασιλεὺς Ιουδα ἐπὶ βασιλέα Βαβυλῶνος, αὐτὸς καὶ οἱ παῖδες αὐτοῦ καὶ ἡ μήτηρ αὐτοῦ καὶ οἱ ἄρχοντες αὐτοῦ καὶ οἱ εὐνοῦχοι αὐτοῦ, καὶ λαμβάνει αὐτὸν βασιλεὺς Βαβυλῶνος ἐν ἔτει ὀγδόῳ τῆς βασιλείας αὐτοῦ. ...

15. καὶ ἀποικεῖ τὸν Ιωακιμ εἰς Βαβυλῶνα καὶ τὴν μητέρα τοῦ βασιλέως καὶ τὰς γυναῖκας τοῦ βασιλέως καὶ τοὺς εὐνούχους αὐτοῦ·... ἐξ Ιερουσαλημ εἰς Βαβυλῶνα

16. καὶ πάντας τοὺς ἄνδρας τῆς δυνάμεως ... ἄγει αὐτοὺς βασιλεὺς Βαβυλῶνος μετοικεσίαν εἰς Βαβυλῶνα.

17. καὶ βασίλευει βασιλεὺς Βαβυλῶνος τὸν Μαθθανιαν υἱὸν αὐτοῦ ἀντ᾽ αὐτοῦ καὶ ἐπιτίθησι τὸ ὄνομα αὐτοῦ Σεδεκια.

18. υἱὸς εἴκοσι καὶ ἑνὸς ἐνιαυτοῦ Σεδεκιας ἐν τῷ βασιλεύειν αὐτὸν καὶ ἕνδεκα ἔτη βασίλευει ἐν Ιερουσαλημ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Αμιταλ θυγάτηρ Ιερεμιου...

Zekediah rebels against King Nebuchadnezzar.

25. 1. καὶ ... ἦλθεν Ναβουχοδονοσορ βασιλεὺς Βαβυλῶνος καὶ πᾶσα ἡ δύναμις αὐτοῦ ἐπὶ Ιερουσαλημ καὶ παρεμβάλλει ἐπ᾽ αὐτὴν καὶ οἰκοδομεῖ ἐπ᾽ αὐτὴν περίτειχος κύκλῳ.

2. καὶ ἦλθεν ἡ πόλις ἐν περιοχῇ ἕως τοῦ ἑνδεκάτου ἔτους τοῦ βασιλέως Σεδεκιου· ...

4. καὶ ἐρράγη ἡ πόλις, καὶ πάντες οἱ ἄνδρες τοῦ πολέμου ἐξῆλθον νυκτὸς ὁδὸν πύλης τῆς ἀνὰ μέσον τῶν τειχέων, ...

5. καὶ διώκει ἡ δύναμις τῶν Χαλδαίων ὀπίσω τοῦ βασιλέως καὶ καταλαμβάνει αὐτόν...

6. καὶ συλλαμβάνει τὸν βασιλέα καὶ ἄγει αὐτὸν πρὸς τὸν βασιλέα Βαβυλῶνος ..., καὶ λαλεῖ μετ᾽ αὐτοῦ κρίσιν...

ἀναβαίνω advance
ἀνὰ μέσον between
ἀποικέω settle, immigrate
βασιλείας (gen sg) ἡ rule, kingship
βασιλεύω be king, make king
δύναμις -εως ἡ force, army
εἴκοσι twenty
εἰσῆλθεν (3rd sg) entered
ἕνδεκα eleven
ἑνδεκάτου (gen sg) ὁ/τό eleventh
ἐνιαυτοῦ (gen sg) ὁ year
ἑνός (gen sg) ὁ one
ἐξῆλθεν (3rd sg) ἐξῆλθον (3rd pl) exited
ἐπιτίθημι put on, appoint
ἐρράγη (3rd sg) was broken into
εὐνοῦχοι (nom pl) εὐνούχους (acc pl) ὁ eunuchs
ἕως until

ἦλθεν (3rd sg) came
κρίσις —εως ἡ judgment
μετοικεσίαν (acc sg) ἡ resettled
ὀγδόῳ eighth
οἰκοδομέω build
ὀκτωκαίδεκα eighteen
ὀπίσω behind, after
πάντες (nom pl) πάντας (acc pl) ὁ all
παρεμβάλλω set up camp at
πᾶσα (nom sg) ἡ all
περιοχῇ (dat sg) ἡ section, domain
περίτειχος —ους τό siege works
πολιορκέω mount an attack
πύλης (gen sg) ἡ gate
συλλαμβάνω take along
τρίμηνον three months
Χαλδαίων (gen pl) ὁ Chaldeans

Notes:
24.8.   ὀκτωκαίδεκα ἐτῶν: age expressed in the genitive case ἐν τῷ βασιλεύειν: "while ruling"
24.18. εἴκοσι καὶ ἑνὸς ἐνιαυτοῦ: age expressed in the genitive case
25. 4. νυκτὸς: genitive of time within which
        τῆς ἀνὰ μέσον τῶν τειχέων: τῆς modifies πύλης; ἀνὰ μέσον τῶν τειχέων describes the πύλης